(955) τοῦ ζῴου, μέχρι μὲν ἔμπνουν ἐστὶ καὶ ‘θαλερόν’, ὡς οἱ ποιηταὶ λέγουσι, θερμότητι χρῆται καὶ ζωῇ· γενόμενον δὲ τούτων ἔρημον καὶ ἀπολειφθὲν ἐν μόνῃ τῇ τῆς γῆς μοίρᾳ ψυχρότης εὐθὺς ἴσχει καὶ κρύος, ὡς ἐν παντὶ μᾶλλον ἢ τῷ γεώδει κατὰ φύσιν θερμότητος ἐνυπαρχούσης.

23. Ταῦτ’, ὦ Φαβωρῖνε, τοῖς εἰρημένοις ὑφ’ ἑτέρων παράβαλλε· κἂν μήτε λείπηται τῇ πιθανότητι μήθ’ ὑπερέχῃ πολύ, χαίρειν ἔα τὰς δόξας, τὸ ἐπέχειν ἐν τοῖς ἀδήλοις τοῦ συγκατατίθεσθαι φιλοσοφώτερον ἡγούμενος.



Technische Universität Dresden Universitätsbibliothek